

μέτρος τῇ ἐκκει-
μένῃ ῥητῇ
τῇ Α μήκει. ἡ
ΒΓ ἄρα ἀποτο-
μή ἐστι πρώτη.
εὕρηται ἄρα ἡ
πρώτη ἀπο-
τομὴ ἡ ΒΓ. ὅπερ ἔδει εὑρεῖν :-



πϛ Εὑρεῖν τὴν δευτέραν ἀποτομήν. ἐκκείσθω ῥητὴ ἡ Α
καὶ τῇ Α σύμμετρος μήκει ἡ ΗΓ· ῥητὴ ἄρα ἐστὶν ἡ ΗΓ.
καὶ ἐκκείσθωσαν δύο τετράγωνοι ἀριθμοὶ οἱ ΔΕ ΕΖ,
ὧν ἡ ὑπεροχὴ ὁ ΔΖ μὴ ἔστω τετράγωνος. καὶ πε-
ποιήσθω ὡς ὁ ΖΔ πρὸς τὸν ΔΕ, οὕτως τὸ ἀπὸ τῆς
ΓΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΒ τετράγωνον. σύμ-
μετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΓΗ τετράγωνον τῷ ἀπὸ
τῆς ΗΒ τετραγώνῳ. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΓΗ. ῥη-
τὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΒ. ῥητὴ ἄρα ἐστὶν ἡ ΒΗ. καὶ
ἐπεὶ τὸ ἀπὸ τῆς ΗΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΒ
λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετρά-
γωνον ἀριθμόν. ἀσύμμετρός ἐστιν ἡ ΓΗ τῇ ΒΗ μή-
κει. καί εἰσιν ἀμφότεραι ῥηταί. αἱ ΓΗ ΗΒ ἄρα ῥηταί
εἰσι δυνάμει μόνον σύμμετροι. ἡ ΒΓ ἄρα ἀποτομή
ἐστι. λέγω δὴ ὅτι καὶ δευτέρα. ᾧ γὰρ μεῖζόν ἐστι τὸ
ἀπὸ τῆς ΒΗ τοῦ ἀπὸ τῆς ΗΓ, ἔστω τὸ ἀπὸ τῆς Θ.
ἐπεὶ οὖν ἐστιν ὡς τὸ ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς ΗΓ,
οὕτως ὁ ΕΔ ἀριθμὸς πρὸς τὸν ΔΖ ἀριθμόν. ἀνα-
στρέψαντι ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς Θ,
οὕτως ὁ ΔΕ πρὸς τὸν ΕΖ. καί ἐστιν ἑκάτερος τῶν ΔΕ ΕΖ
τετράγωνος. τὸ ἄρα ἀπὸ τῆς ΒΗ πρὸς τὸ ἀπὸ τῆς
Θ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετρά-
γωνον ἀριθμόν. σύμμετρος ἄρα ἐστὶν ἡ ΒΗ τῇ Θ μήκει. καί ἐστιν
ἡ ΒΗ τῆς ΗΓ μεῖζον δυνάμει τῷ ἀπὸ τῆς Θ. ἡ ΒΗ ἄρα τῆς
ΗΓ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει.
καί ἐστιν ἡ προσαρμόζουσα ἡ ΓΗ σύμμετρος τῇ ἐκ-
κειμένῃ ῥητῇ
μήκει τῇ Α. ἡ
ΒΓ ἄρα ἀποτο-
μή ἐστι δευτέρα.
εὕρηται ἄρα δευ-
τέρα ἀποτομὴ
ἡ ΒΓ :-



πζ Εὑρεῖν τὴν τρίτην ἀποτομήν. ἐκκείσθω ῥητὴ ἡ Α καὶ
ἐκκείσθωσαν τρεῖς ἀριθμοὶ οἱ Ε ΒΓ ΓΔ, λόγον μὴ
ἔχοντες πρὸς ἀλλήλους ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν. ὁ δὲ ΓΒ πρὸς τὸν ΒΔ λό-
γον ἐχέτω ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον
ἀριθμόν. καὶ πεποιήσθω ὡς μὲν ὁ Ε πρὸς τὸν ΒΓ, οὕ-
τως τὸ ἀπὸ τῆς Α τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΖΗ
τετράγωνον. ὡς δὲ ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ
τῆς ΖΗ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΗΘ. ἐπεὶ οὖν
ἐστιν ὡς ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς Α τετρά-
γωνον πρὸς τὸ ἀπὸ τῆς ΖΗ τετράγωνον. σύμμετρον

λ ἐν ἀντιγρ(άφῳ) [illegible]